χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν.

---

εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης,
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνωι,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς
οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

---

⊗ ὤνθρωπ', εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνοίης
καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν
οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ. ⊗

---

οὔτοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίωι πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

---

μήποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε μηδὲ μενοίνα
χρήμασι· τῶν ἄνυσις γίνεται οὐδεμία.

---

εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτέ τι δειλὸν
οὔτ' ἀγαθόν· χαλεπῶι δ' ἔργματι κῦδος ἔπι.

---

ἀμφ' ἀρετῆι τρίβου, καί τοι τὰ δίκαια φίλ' ἔστω,

457-60 Ath. 560a; Stob. 4. 22. 110; imit. Theophilus fr. 6 Kock 457-8 Clem. *Strom.* 6. 14. 5